3

Photivs Berol. 83. 2. *ἀλύειν τὸ μηδὲν πράττειν· Μένανδροϲ Ἐπιτρέπουϲιν·*

*τί δ᾿ οὐ ποεῖϲ ἄριϲτον; ὁ δ᾿ ἀλύει πάλαι*
*κατακείμενοϲ.*

4 (185 K)

Erotianvs 41. 18 Nachmanson. *ἔϲτιν ἐχῖνοϲ χύτραϲ εἶδοϲ μεγαλοϲτόμου καὶ μεγάληϲ. μέμνηται τῆϲ λέξεωϲ Μένανδροϲ ἐν Ἐπιτρέπουϲιν.*

5 (178 K)

Athenaevs 119 e. *Μένανδροϲ Ἐπιτρέπουϲιν·*

*ἐπέπαϲα*
*ἐπὶ τὸ τάριχοϲ ἅλαϲ, ἐὰν οὕτω τύχῃ.*

6 (175 K)

Stobaevs, *Eclogae* iii. 30. 7. *Μένανδροϲ Ἐπιτρέπουϲιν·*

*ἀργὸϲ δ᾿ ὑγιαίνων τοῦ πυρέττοντοϲ πολύ*
*ἐϲτ᾿ ἀθλιώτεροϲ· μάτην γοῦν ἐϲθίει*
*διπλάϲια.*

ACTVS PRIMI FINIS

[*ϹΜΙΚΡΙΝΗϹ*]

*ἄνθρωποϲ οἶνον. αὐτὸ τοῦτ᾿ ἐκπλήττομαι* 127
*ἔγωγ᾿. ὑπὲρ ⟨δὲ⟩ τοῦ μεθύϲκεϲθ᾿ οὐ λέγω.*